eul_wid: tyc-bn

*Ζώσιμος ὁ Πανοπολίτης* · Zosimus of Panopolis

# Poem of Zosimus, Act 3

*Ποίημα Ζωσίμου (πρᾶξις γʹ)*

**Period:** *Ὀψιμαρχαία* Late Antique
**Dialect:** *Κοινὴ τεχνική* Technical Koine
**Domain:** *Ἐπιστήμη* Science
**Format:** *Πραγματεία* Treatise

ΠΟΙΗΜΑ ΤΟΥ ΑΥΤΟΥ ΖΩΣΙΜΟΥ. ΠΡΑΞΙΣ Γ Καὶ πάλιν κατενόησα τὸν θεῖον καὶ ἱερὸν φιαλοβωμὸν, καὶ εἶδόν τινα ἱεροπρεπῆ λευκοποδήρην ἐνδεδυμένον ἱερουργοῦντα τὰ φοβερὰ ἐκεῖνα μυστήρια, καὶ εἶπον· «Ἆρα τίς ἐστιν οὗτος;» καὶ ἀποκριθεὶς εἶπέ μοι· «Οὗτός ἐστιν ὁ ἱερεὺς τῶν ἀδύτων. Οὗτος βούλεται αἱματῶσαι τὰ σώματα, καὶ ὀμματῶσαι τὰ ὄμματα, καὶ τὰ νενεκρωμένα ἀναστῆσαι.» Καὶ οὕτω πάλιν πεσὼν ἐκοιμήθην ἄλλον ὀλίγον, καὶ αὐτὸ δὴ ἐν τῷ ἐπανέρχεσθαί με ἐπὶ τὴν τετάρτην κλίμακα, εἶδον κατ’ ἀνατολὰς ἐρχόμενον, κατέχοντα ἐν τῇ χειρὶ αὐτοῦ μάχαιραν.

2 118 Καὶ ἄλλος ὀπίσω αὐτοῦ φέρων περιηκονισμένον τινὰ λευκοφόρον καὶ ὡραῖον τὴν ὄψιν, οὗ τὸ ὄνομα [αὐτοῦ] ἐκαλεῖτο μεσουράνισμα ἡλίο υ , καὶ ὡς πλησίον ἦλθον τῶν κολάσεων, λέγων ὅτι μάχαιραν κρατῶν, «Περιέτεμε αὐτοῦ τὴν κεφαλὴν, καὶ τὰ κρέατα αὐτοῦ θήσων ἀνὰ μέρος, καὶ τὰς σάρκας αὐτοῦ ἀνὰ μέρος, ὅπως αἱ σάρκες αὐτοῦ πρῶτον ἑψηθῶσιν ὀργανικῶς, καὶ τότε τῇ κολάσει παραπορευθῶσιν.» Καὶ οὕτως πάλιν ἔξυπνος γενόμενος εἶπον· «Καλῶς ἐπενόησα καὶ ὅτι περὶ ταῦτά ἐστιν τὰ ὑγρὰ τῆς μεταλλικῆς.» Καὶ πάλιν ὁ βαστάζων τὴν μάχαιραν ἔφη· «Πεπληρώκατε τὴν κάτω ἑπτὰ κλίμακας. Ὁ δὲ ἕτερος ἔφη ἅμα τῷ ἐκβαλεῖν τοὺς κρουνοὺς δι’ ὑγρῶν πάντων· «Ἡ τέχνη πεπλήρωται.»

Eulogikon public reading copy · View original HTML at eulogikon.org